# ОТДѢЛЪ III.

## 1. Мелкія статьи и замѣтки.

### Nachträgliches zu den Akten des Xenophonklosters.

In der 1. Beilage zum X. Bande des Vizantijskij Vremennik (1903) hat L. Petit fünfzehn das Xenophonkloster auf dem Athos betreffende Akten mitgeteilt, die in die Jahre 1083—1839 fallen. Ich veröffentliche hier für dies am Ende des X. Jahrhunderts gegründete Kloster noch weitere sechs Dokumente, von denen eins (№ IV) auf eine Abschrift des bekannten Bischofs Porphirij Uspenskij zurückgeht, die übrigen aber auf Abschriften, die ums Jahr 1872 G. Sakellarides angefertigt hat. Die sechs Dokumente stammen aus den Jahren 1086, 1352, 1618, 1620, 1784 und 1802. Obwohl für die Vollständigkeit und Richtigkeit der mir zugebote stehenden Abschriften keine Garantie geleistet werden kann (bes. № II ist arg verhunzt und verstümmelt), so wird die nachfolgende Edition vielleicht doch manchem Fachgenossen willkommen sein behufs einstweiliger Kenntnisnahme von ihrem nicht uninteressanten und mehrfach das von Petit gegebene Material ergänzenden Inhalte. Die in den Abschriften sehr häufig vorkommenden Itazismen habe ich, da sich nicht entscheiden lässt, inwieweit sie den Originalen oder den auch sonst recht mangelhaft ausgeführten Abschriften zuzuweisen sind, stillschweigend korrigiert; desgleichen auch andere offenkundige Versehen des modernen Kopisten.

### I. 6594=1086.

Isaak, Protos der Athosklöster, entschädigt im Namen der Zentralverwaltung (Μέση) das Xenophonkloster für früher erlittene Verluste durch Überlassung des Klosters τοῦ Ματζούκη.

† Ἐν κινήσει τὸ εἶναι τῶν καθ' ἡμᾶς ἐχόντων πραγμάτων, ἀλλοιοῦται πάντα καὶ παραβάλλει καὶ οὐδ' ἐν βραχυτάτῳ χρόνου μορίῳ κατὰ ταὐτὸν ὁρᾶται ἱστάμενα, ἄλλοτε δὲ ἄλλως μετατίθεται καὶ μετατρέπεται. τῆς δὲ ἀνθρωπίνης διανοίας τῆς διοικούσης ταῦτα πολυτρόπως τε διατιθεμένης τοῦ τε χρόνου τὰ πλεῖστα μεταμορφοῦντος καὶ μεταλλάττοντος, μυρία μὲν οὖν ὅσα τοιαῦτα καὶ κοινῇ καὶ καθ' ἕκαστον ἐπισκεπτόμενος ἴδοι τις ἄν, καὶ τὸ ὅλον ὁ

τῶν ἀνθρώπων βίος τοιούτων ἐμπέπλησται. πρὸς ὃ δ' ἡμῖν ἀφορῶσιν ἐντεῦθεν ἐπῆλθε προοιμιάσασθαι, τοιόνδε τυγχάνον ἐστίν. ἡ τοῦ Ξενοφῶντος σεβασμία μονὴ πρὸ συχνῶν πάνυ χρόνων μονύδριον κεκτημένη καλούμενον οὕτω πως τοῦ Φαλακροῦ ἀφῃρέθη τοῦτο παρὰ τοῦ κατὰ τὸν χρόνον ἐκεῖνον ἐνταῦθα πρωτεύοντος, βουληθέντος εἰς ἡγουμενεῖον αὐτὸ καταστῆσαι. ἀναδραμοῦσα δὲ αὕτη πρὸς τὸν τηνικαῦτα αὐτοκράτορα καὶ τούτου χάριν πρόσταγμα πορισαμένη βασιλικόν, αὐτὸ μὲν οὐκ ἀπέλαβεν, ἀντ' αὐτοῦ δὲ ἀντελήφθη μονύδριον ἕτερον, τοῦ Μονοξυλίτου λεγόμενον. ἵνα δὲ ὅθεν ἐκεῖνό τε ἐκτήσατο τὴν ἀρχὴν καὶ ὅπως ὃ λέγω σαφέστερον καὶ βεβαιότερον γένηται, ὅσον περὶ τούτου διαλαμβάνει τὸ προσὸν αὐτῇ δικαίωμα περὶ πάντων ὧν κέκτηται καὶ ὡς ἐν σχήματι τυπικοῦ, ἀναγκαῖον ἐνταῦθα παραθεῖναι ῥητῶς· «ἐπεὶ δὲ ὁ μακαρίτης καθηγούμενος τῆς τοῦ Ξενοφῶντος μονῆς καὶ Πρῶτος κῦρ Γεράσιμος ὁ κουροπαλάτης κατεφύτευσεν ἀμπελῶνας ἐν τῇ μονῇ τοῦ Φαλακροῦ καὶ πύργον ἀνῳκοδόμησε καὶ εἰς μετόχιον ἀπεκατέστησε τῆς διαληφθείσης μονῆς, ἀφαιρεθέντος δὲ τούτου παρ' ἡμῶν καὶ εἰς ἡγουμενεῖον ἀποκαταστάντος, δι' ὄχλου ἡμῖν γέγονας καὶ πρόσταγμα ἐπορίσω τοῦ βασιλέως κυροῦ Νικηφόρου, ὡσαύτως καὶ ὁ ἅγιος ἡμῶν βασιλεὺς διορίζεται ἵνα γένηται καὶ περὶ τούτου ἀποκατάστασις, παραδίδομέν σοι ἀντὶ τῆς μονῆς τοῦ Φαλακροῦ τὴν τοῦ Μονοξυλίτου μονὴν εἰς μετόχιον». ταῦτα παρὰ τοῦ τηνικαῦτα Πρώτου πρὸς τὸν κατ' ἐκείνους τοὺς χρόνους ἐγκεχειρισμένον τὴν προστασίαν τῆς τοῦ Ξενοφῶντος μονῆς εἰρημένα παρίστησιν ἀριδηλότατον τὰ περὶ ἀμφοτέρων τῶν μοναστηρίων. ἀλλ' εἶχε μὲν αὕτη ἡ σεβασμία μονὴ μέχρι τινὸς τὸ τοῦ Μονοξυλίτου μονύδριον, ἕως οὔπω δυσετηρίᾳ ἐχρήσατο. ἀρξαμένη δὲ περιαιρεῖσθαι τὰ ἑαυτῆς, ἀφῃρέθη καὶ τοῦτο οὐκ οἶδ' ἀνθ' ὅτου παρὰ τῆς Λαύρας. ἐπεὶ δὲ χρόνῳ ὕστερον ἡμῖν προβαλλομένη τὸ εἰρημένον δικαίωμα, ἓν ἀπὸ τῶν δύο ἀπῄτει, ἢ τοῦτ' αὐτὸ τὸ τοῦ Μονοξυλίτου ἢ τὸ τοῦ Φαλακροῦ, ἔσχε μὲν ἡμᾶς πρὸς οὐδέτερον κατανενευκότας· οὔτε γὰρ ἀφελέσθαι τὸ παρὰ τῆς Λαύρας κατεχόμενον ἐδυνάμεθα οὔτε τὸ παρὰ τῆς Μέσης δίκαιον ἐκρίνομεν· τὰ μέγιστα γὰρ ἂν αὐτὴν ἐντεῦθεν ἐζημιώσαμεν. οὐ μὴν παντάπασι τὴν εἰρημένην σεβασμίαν μονὴν εἰς τοὐμφανὲς ἠδικημένην κατὰ τοῦτο παριδεῖν ἐκρίναμεν δίκαιον, δρᾶσαι δέ τι τοιοῦτον ἐβουλευσάμεθα, ὡς αὐτήν τε θεραπεῦσαι κατὰ τὸ δυνατὸν καὶ ἡμᾶς αὐτοὺς μὴ ἀδικῆσαι. ἀλλ' ἀπέστω μέμψις ἡμῶν τούτου γε ἕνεκα μηδέ τις ἡμῖν ἐγκαλεῖν ἐπιχειρείτω, ὃ πάντων μάλιστα θεοῦ χάριτι μεμισήκαμεν. οὔτε γὰρ κατὰ χάριν τοῦτο ποιοῦμεν οὔτε δι' ἕτερόν τι, ἀλλ' ὡς ἔφην ἵν' αὐτή τε ἡ εἰρημένη μονὴ μὴ ἀδικῆται ἐπὶ τοσοῦτον καὶ παρ' ἡμῶν ὡς δυνατὸν ἀποδοθείη τὸ δίκαιον. τοίνυν ὁρῶντες ἐν τοῖς ὑφ' ἡμᾶς μονυδρίοις τὸ τοῦ Ματζούκη καλούμενον ἐγγὺς ἤδη γενόμενον τοῦ καταπεσεῖν, οὐχ ἧττον φροντίζοντες καὶ τῆς αὐτῶν συστάσεως, παραδίδομεν τοῦτο διὰ τοῦ παρόντος ἡμῶν γράμματος πρὸς τὴν εἰρημένην σεβασμίαν τοῦ Ξενοφῶντος μονήν, ἵνα κατέχῃ τοῦτο ἀνενοχλήτως διὰ παντὸς καὶ μηκέτι βλέπῃ πρὸς ὃ προκατεῖχε τοῦ Φαλακροῦ μονύδριον μηδ' ὡς ἀδικουμένη περαιτέρω διενοχλοίη. πλὴν δὲ καὶ οὕτως ἵνα καθ' ἕκαστον ἐνιαυτὸν διδῷ πρὸς τὴν Μέσην ἀπαραιτήτως οἶνον μέτρα ὀκτώ, ἔλαιον λίτρας

17—25. vgl. Petit I, 200—207. 23. d. i. Kaiser Alexios I Komnenos (1081—1118):

πέντε καὶ σῖτον μοδίους τρεῖς. ταῦτα μὲν ἡμεῖς διακεκρικότες ἐπικυροῦμεν τῷδε τῷ γράμματι, ἀξιοῦμεν δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἐμμένειν τῇδε τῇ διακρίσει, δικαίᾳ θεοῦ χάριτι τυγχανούσῃ, καὶ μηδεμίαν ἐπαγαγεῖν ποτε ἐνόχλησιν τούτου γε χάριν τῇ εἰρημένῃ μονῇ. εἰ δὲ μή, ὁ ταῦτα καταλῦσαι ἐπιχειρήσων, ὅστις ποτ' ἂν ἔσοιτο, ἴστω ὡς ἕξει καθ' ἑαυτοῦ τὴν ἀπὸ τοῦ θεοῦ ἀγανάκτησιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμῶν παραδοτικὸν γράμμα γεγονὸς ἐπεδόθη τῇ εἰρημένῃ σεβασμίᾳ τοῦ Ξενοφῶντος μονῇ δι' ἀσφάλειαν.

† ὁ Πρῶτος τῶν ἐν τῷ ἁγίῳ ὄρει σεβασμίων μονῶν Ἰσαὰκ ἱερομόναχος.

† ὁ ἐλάχιστος ἐν ἱερομονάχοις Γεράσιμος καὶ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς Λαύρας.

† ὁ ἡγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Βατοπαιδίου Νήφων ἱερομόναχος.

† ὁ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Ξηροποτάμου Ἀθανάσιος ἱερομόναχος.

† ὁ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Ἐσφιγμένου Ματθαῖος.

† ὁ Ὑάκινθος ἱερομόναχος καὶ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Καρακάλλου.

† ὁ Δωρόθεος ἁμαρτωλὸς καὶ ἡγούμενος τοῦ Ξύστρη καὶ αὐτὸς μάρτυς ὑπέγραψα.

† ὁ προϊστάμενος τῆς τοῦ Ῥαβδαίσης Χαστηριῆς Ματθαῖος ἱερομόναχος.

† ὁ Κλήμης ἱερομόναχος καὶ καθηγούμενος τῆς μονῆς τοῦ......

† ................................................

† ὁ Μακάριος ἱερομόναχος καὶ προηγούμενος τῆς σεβασμίας μονῆς τοῦ Δοχειαρίου.

† ὁ τῆς μονῆς τοῦ................Γαβριήλ.

† ὁ Ἀμφιλόχιος ἱερομόναχος καὶ ἡγούμενος τοῦ Μηνίτση.

† ὁ Κλήμης ἱερομόναχος καὶ πνευματικὸς καὶ ἡγούμενος τοῦ Ἰωνᾶ.

† ὁ Θεοστήρικτος μοναχὸς καὶ ἡγούμενος τῆς μονῆς τοῦ Γεμάτου.

† ὁ Μηνᾶς ἱερομόναχος καὶ ἡγούμενος τοῦ........Στεφάνου.

† ὁ Ἰωσὴφ μοναχὸς καὶ ἡγούμενος τῆς μονῆς τοῦ Μακρογένη.

† ὁ Δανιὴλ ἱερομόναχος καὶ ἡγούμενος τοῦ Κοχλιαρᾶ καὶ αὐτὸς ὑπέγραψα.

† . . . . . . . . . . . . . . . . . . . . .

---

53. ἔσοιτο, ἓν εἰς τὸ ὡς (viell. συνίστω?) hinter 55 steht in der Abschrift: Νικηφόρος ἐλέῳ θεοῦ αὐτοκράτωρ 'Ρωμαίων ἐν Χριστῷ ἐπικυροῖ (σφραγίς). Diese (gegen die Chronologie, die feststehende Form der Kaiserunterschrift und die ganze Sachlage verstossende) Unterschrift ist unzweifelhaft nachträglich von einem übereifrigen Insassen des Klosters hinzugefügt. 80. Θεοκήρικτος. 84. Κουλυάρα.

† ὁ Νεῖλος ἱερομόναχος τῆς μονῆς τοῦ τιμίου Προδρόμου τοῦ Δοχειαρίου.

ἀπελύθη ἐν ἔτει $\overline{\text{ςφϟδ}}$.

## II. 6860=1352, Juni, V. Indiktion.

Stephan, Kaiser von Serbien und Romanien, bestätigt in einer Goldbulle den Besitz und die Gerechtsame des Xenophonklosters.

† Καὶ τῇ βασιλείᾳ μου δέον κατὰ τὸ δυνατὸν ἐξομοιοῦσθαι θεῷ, φιλανθρώπως ἄγαν τοὺς ὑπὸ χεῖρα αὐτῆς οἰκονομεῖν καὶ συνιστᾶν <τὰ> τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, ἵνα ταῖς αὐτῶν δεήσεσι καὶ παρακλήσεσιν ἐπισπάσεται ἔλεον ἡ βασιλεία μου παρὰ τοῦ φιλανθρώπου θεοῦ. καὶ καθὰ θεὸς παρέχει τοῖς ἀγαπῶσιν αὐτὸν ἀξίας τὰς ἀμοιβὰς καὶ τὴν θέλησιν αὐτῶν ποιεῖ, οὕτω δὴ καὶ ἡ βασιλεία μου τοὺς προσερχομένους πρὸς αὐτὴν εὐγνωμόνως ἀξίως δωρεῖται τὰς εὐεργεσίας καὶ τὴν θέλησιν αὐτῶν πληροῖ. ἐπειδὴ καὶ ἡ σεβασμία μονὴ ἡ ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ διακειμένη, ἡ εἰς ὄνομα τιμωμένη τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένη τοῦ Ξενοφῶντος, ἐτάχθη* εὑρίσκεσθαι ἰδίως τῆς βασιλείας μου εὔχεσθαι αὐτοῖς ὁλοψύχως, ᾐτήσαντο δὲ οἱ ἐν αὐτῇ εὑρισκόμενοι καὶ ἀσκούμενοι μοναχοὶ ἐπιχορηγεῖν αὐτοῖς καὶ χρυσόβουλλον τῆς βασιλείας μου εἰς ἅπερ κέκτηται ἡ τοιαύτη σεβασμία μονὴ διά τε χρυσοβούλλων καὶ λοιπῶν παλαιγενῶν δικαιωμάτων, ἤγουν τὸ Στόμιον τὸ ἐντὸς τῆς Καλαμαρίας μετὰ τῶν ἐκεῖσε παροίκων καὶ προσκαθημένων, τοῦ Νεακίτου τὸ πλησίον τοῦ Λόγγου μετὰ καὶ τῶν ξενοπαροίκων καὶ παροίκων καὶ προσκαθημένων, τὸν ἐντὸς τοῦ τοιούτου Νεακίτου Πύργον σὺν τῇ γῇ τῶν Ψαλιδοφουρνιωτῶν καὶ τῶν αὐτῆς παροίκων, τοῦ Ἱερισσοῦ μετὰ τῶν ἐκεῖσε παροίκων καὶ τῶν παρακαθημένων καὶ τῶν χειμαδείων τῆς Κασσανδρείας τοῦ Λειρμένου Σύβρη, ἔτι τε καὶ εἰς τὸ ἀρτίως εὐεργετηθὲν παρὰ τῆς βασιλείας μου τῇ τοιαύτῃ μονῇ τὴν γῆν, ἣν προκατεῖχε Καβαλλάριος ὁ Μουζάκιος ἐν τῇ τοποθεσίᾳ τοῦ Μυριοφύτου, τὴν αἴτησιν καὶ παράκλησιν αὐτῶν προσδεξαμένη ἡ βασιλεία μου ἐπιχορηγεῖ καὶ βραβεύει τὸν παρόντα χρυσόβουλλον λόγον μου· δι' οὗ προστάσσει καὶ διορίζεται, ὡς ἂν καὶ εἰς τὸ ἑξῆς κατέχει καὶ νέμεται ἡ τοιαύτη σεβασμία μονὴ τοῦ ἁγίου Γεωργίου τὰ ἀνωτέρω πάντα εἰρημένα ἀνενόχλητα πάντῃ καὶ ἀδιάσειστα ἀπό τε ζευγαριτικίου, καστροκτισίας, διμοδαίου, χαράγματος, ξυλαχύρου, *κουβαλιατάκια, ἐξελάσεως ἀνθρώπων καὶ ἀπὸ τῶν κατὰ καιροὺς κεφαλατικευόντων εἰς τὸν αὐτόθι τόπον, ἔτι τε καὶ ἀπογραφικῆς <ἀναθεωρήσεως>. ἀλλ' οὐδὲν ὅ, τι κεφάλαιον ἐπινοηθήσεται, *οἷα ἀπαιτηθήσεται ἀπὸ τῶν κτημάτων τῆς μονῆς ταύτης *ἢ διασεῖσαι ἢ παρενοχλῆσαι ὅλως αὐτούς, ὁποῖος ἄρα καὶ εἴη. ἀλλ' ἵνα κατέχει καὶ νέμεται ταῦτα ἀναπόσπαστα,

---

II, 3. ἐπισπάζεται 6. vielleicht ist zu lesen: ἀξίας. 7. ἐπειδὴ καὶ ἡ βασιλεία μου ἡ 8. τῷ Ἄθῳ habe ich hinter ὄρει gestellt, in der Abschrift steht ἐν τῷ Ἄθῳ hinter τιμωμένη 11. ἐπιχορηγεῖν αὐτοῖς: ὅπως τηρεῖν αὐτούς. 19. Σύβρη, vgl. Petit I, 220. 26. viell. γουβελιατικοῦ, vgl. W. Regel, Χρυσόβουλλα καὶ Γράμματα τῆς .... μονῆς τοῦ Βατοπεδίου 1898. p. 23,22. 28. οὐδὲν ὃν τί.

ἀνεπηρέαστα καὶ ἀναφαίρετα, ἐλεύθερα πάντῃ καὶ ἀκαταδούλωτα ἀπὸ δημοσιακῆς ἐπηρείας τε καὶ συζητήσεως, τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου· τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος, ἀπολυθεὶς κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης ἰνδικτιῶνος πέμπτης τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑξηκοστοῦ ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† Στέφανος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Σερβίας καὶ Ῥωμανίας.

(σφραγίς).

## III. 7126=1618, 26. Mai.

Der ökumenische Patriarch Timotheos II (1612—1620) verurteilt in einem Synodalschreiben die Mönche des Klosters τοῦ Δοχειαρίου dazu, die von ihnen widerrechtlich im Gebiete des Xenophonklosters erbaute Wassermühle abzutragen.

† Τιμόθεος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν καὶ τῶν τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τῶν καὶ γνώμης ἀρχιερέων ἐχόντων, παραστάντες ὅ τε ἱερώτατος μητροπολίτης Σαμακουβίου κῦρ Βησσαρίων καὶ ὑπέρτιμος, ὁ ἐν ἁγίῳ πνεύματι ἀδελφὸς αὐτῆς καὶ συλλειτουργός, ὁ ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ Ξενοφῶντος τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει, καὶ οἱ πατέρες τῆς μονῆς τοῦ Δοχειαρίου διεφέροντο μετ' ἀλλήλων. καὶ ὁ μὲν ἐδυσφόρει καὶ ἠγανάκτει κατ' αὐτῶν ὡς καταπατησάντων τόπον τοῦ μοναστηρίου αὐτῶν καὶ καταστησάντων ἐν αὐτῷ νερόμυλον, ὅπου τὸ ὕδωρ ἐκεῖνο ἐξ ἀρχῆς καὶ ἄνωθεν τῆς αὐτῆς μονῆς τοῦ Ξενοφῶντος ὑπῆρχεν. οἱ δὲ ἀντέλεγον καὶ ἐδικαιολογοῦντο ὡς, εἰ καὶ ἀληθῶς ὁ αὐτὸς τόπος καὶ τὸ ὕδωρ ὑπὸ τὰ ὅρια τῆς μονῆς ταύτης τοῦ Ξενοφῶντός εἰσιν, ἀλλ' οὖν μετὰ γνώμης καὶ εἰδήσεως τοῦ τότε ἡγουμένου καὶ τῶν λοιπῶν γερόντων τῆς συνάξεως ἐδόθη πρὸς αὐτοὺς καὶ ἐγένετο ἡ κατασκευὴ τοῦ μύλου. οὕτινος ἀρνησαμένου τοῦτο, ἔστερξαν οἱ Δοχειαρῖται ἵνα, ἐὰν αὐτὸς ὁ μητροπολίτης κῦρ Βησσαρίων στέρξῃ δέξασθαι ἄλλῃ τὸν ἀφορισμόν, ὡς μὴ ἔχων εἴδησιν τούτου οὔτε παρά τινος ἄλλου τῶν ἐνασκουμένων ἀκηκόοι, ἀποστῶσιν αὐτοὶ τοῦ μύλου καὶ λάβωσι τὴν ὕλην μόνην ἐκείνου καὶ ἀπέχωσιν. ὅπερ καὶ ἐγένετο. καὶ ἐδέξατο φρικτὸν ἀφορισμὸν δι' ὠμοφορίου καὶ ἐπιτραχηλίου ὁ αὐτὸς μητροπολίτης κῦρ Βησσαρίων ἐπὶ παρουσίᾳ ἀρχιερέων, κληρικῶν καὶ πατέρων οὐκ ὀλίγων τῶν ἀπὸ τοῦ ἁγιωνύμου ὄρους. καὶ ἐπειδὴ τοιοῦτον πέρας ἐγένετο καὶ ἐλύθη πᾶσα ἀμφιβολία καὶ διένεξις, τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς γνώμῃ καὶ τοῦ παρατυχόντος μακαριωτάτου Ἀντιοχείας κῦρ Ἰγνατίου καὶ τῶν λοιπῶν παρευρεθέντων

III, 19. δέξασθαι ἄλλοι — ειδησιν δὲ τούτου.

ἱερωτάτων ἀρχιερέων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα οἱ μὲν Δοχειαρῖται πατέρες μετὰ τὸ ἰδεῖν τὸ παρὸν ἡμέτερον γράμμα φροντίσωσιν εὐθὺς δίχα τινὸς λόγου καὶ ἀντιλογίας ἀπελθεῖν εἰς τὸν τόπον τοῦ μύλου ἐκείνου χαλάσαι αὐτὸν καὶ καταρρῖψαι καὶ λαβεῖν τὴν ὕλην αὐτῶν πᾶσαν καὶ ἀπέχειν καὶ μακρὰν γενέσθαι τῆς κυριότητος καὶ δεσποτείας τοῦ μύλου καὶ τῶν λοιπῶν ὁρίων καὶ τοῦ ὕδατος τῆς μονῆς τοῦ Ξενοφῶντος· ὁ δὲ τόπος καὶ τὸ ὕδωρ αὐτοῦ ὑπάρχουσιν ὑπὸ τὴν ἐξουσίαν καὶ διευθέτησιν τῶν πατέρων τῆς μονῆς τοῦ Ξενοφῶντος εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα ὡς καὶ τὸ πρότερον τοῦ ποιῆσαι ἐν τῷ τόπῳ αὐτῷ, ὅ,τι ἄρα καὶ βούλοιντο, μὴ τολμώντων τῶν Δοχειαριτῶν πατέρων καθ' οἱονδήποτε τρόπον ἐναντιωθῆναι καὶ ἀνατρέψαι τὴν παροῦσαν ταύτην συνοδικὴν ἀπόφασιν. ὅσοι δὲ ἂν ἐξ αὐτῶν τολμήσωσιν ὀψέ ποτε σκάνδαλόν τι προξενῆσαι καὶ ἀγωγὴν ποιῆσαι περὶ τοῦ αὐτοῦ τόπου καὶ τοῦ ὕδατος ἐξωτερικῶς ἢ καὶ ἐκκλησιαστικῶς καὶ ζημίαν προξενῆσαι τῇ μονῇ ταύτῃ τοῦ Ξενοφῶντος ἢ καὶ δὴ τὰ λοιπὰ ὅρια αὐτῆς καταπατῆσαι καὶ ξύλα κόψαι ἀπὸ τοῦ βουνοῦ αὐτῆς, ἱερωμένοι μὲν ὄντες, ἀργοὶ μενέτωσαν πάσης ἱεροπραξίας, καταφρονοῦντες δὲ τῆς ἀργίας, καὶ ἀφωρισμένοι ἀπὸ θεοῦ ὡς ἄξιοι τελείας καθαιρέσεως· μοναχοὶ δὲ ἢ καὶ ἄλλοι, ἀφωρισμένοι ἀπὸ θεοῦ παντοκράτορος καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ μετὰ θάνατον ἄλυτοι ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ τυμπανιαῖοι ἔστωσαν. ἐχέτωσαν δὲ καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων ὀκτωκαίδεκα θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν πασῶν συνόδων. ὅθεν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον συνοδικὸν γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ μονῇ τοῦ Ξενοφῶντος ἐν τῷ ἁγιωνύμῳ ὄρει εἰς δὴ πλείονα τὴν διαμονὴν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐν ἔτει ζρκς, μαΐῳ κϛ.

† Τιμόθεος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.
† Ἰγνάτιος ἐλέῳ θεοῦ μακαριώτατος Ἀντιοχείας.
† ὁ Ἡρακλείας Μόδεστος.
† ὁ Κυζίκου Παρθένιος.
† ὁ Δέρκων Βασίλειος.
† ὁ Πισιδίας Παρθένιος.
† ὁ Φαναρίου Ἰωσήφ.
† ὁ Τραπεζοῦντος Ἰγνάτιος.
† ὁ Ἀδριανουπόλεως Ἄνθιμος.
† ὁ Φιλιππουπόλεως Ἰωσήφ.
† ὁ Προικοννήσου Ἠλίας.
† ὁ Ἀγχιάλου Παρθένιος.
† ὁ πρώην Διδυμοτείχου Ἄνθιμος.
† ὁ πρώην Κασσανδρείας Μητροφάνης.
† ὁ Σοφάδων Ἰακωβίτζης.
† ὁ Ἱερισσοῦ καὶ ἁγίου ὄρους Εὐγένειος.
† ὁ........Μητροφάνης.

60. An verschiedenen Stellen der Abschrift ist (teils mit dem Zusatz ἐλλείπει, teils ohne denselben) das Fehlen von Namen angedeutet, und zwar fehlt nach 60 ein Name, nach 61 vier, nach 65 drei, nach 67 zwölf Namen der Bischöfe samt ihren Sitzen.

## IV. (1620), Mai, III. Indiktion.

Der ökumenische Patriarch Timotheos II bestätigt den im Streite zwischen den Athosklöstern τοῦ Δοχειαρίου und τοῦ Ξενοφῶντος gefällten Urteilsspruch des Kadi von Saloniki.

† Τιμόθεος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† Θεοφιλέστατε ἐπίσκοπε Ἱερισσοῦ καὶ ἁγίου ὄρους καὶ καθηγούμενοι καὶ γέροντες ὅσοι τῆς τοῦ ἁγίου ὄρους συνάξεως, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. οἱ ἀπὸ τῆς ἁγίας μονῆς τοῦ Δοχειαρίου πατέρες ἀνέφερον ἡμῖν, ὅτι ἔχοντές τινα διαφορὰν καὶ σκάνδαλα μετὰ τῶν ἐν τῇ μονῇ τοῦ Ξενοφῶντος πατέρων παρεγένοντο εἰς Θεσσαλονίκην ἐξωτερικῶς κριθῆναι, ἄλλως ποιῆσαι μὴ δυνάμενοι διὰ τὸ ἀκαμπὲς τῶν Ξενοφωντινῶν. ὁ δὲ καδδῆς ἰδὼν τὰ τῶν Ξενοφωντινῶν χρυσόβουλλα καὶ χοντζέτια καὶ γράμμα τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης κῦρ Παϊσίου ἀπεφήνατο γενέσθαι τὴν ἀπόφασιν κατὰ τὴν περιοχὴν αὐτῶν. τινὲς δὲ τῶν αὐτόθι μεσολαβοῦντες οὐκ ἐῶσιν ἐξισασθῆναι αὐτούς, ἀλλ' ἀνάπτουσι σκάνδαλα, εἰρήνης παῖδες ἐπαγγελλόμενοι εἶναι. διὰ τοῦτο γράφομεν καὶ ἀποφαινόμεθα ἵνα, τῆς ἀληθείας οὕτως ἐχούσης, ὦσιν ἀφωρισμένοι οἱ τοιοῦτοι ἀπὸ θεοῦ παντοκράτορος, εἴτε ἀρχιερεῖς εἰσιν εἴτε ἡγούμενοι εἴτε ὁσιομόναχοι εἴτε ἰδιῶται εἴτε ἄλλος τις τῶν διδασκάλων, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον αἰωνίως καὶ τυμπανιαῖοι, ἐὰν μὴ παύσωνται τοῦ σκανδαλοποιεῖν καὶ μαρτυρήσωσι κατὰ τὴν τοῦ χρυσοβούλλου περίληψιν. ὁμοίως καὶ οἱ ζημίας τινὸς πρόξενοι αὐτοῖς γεγονότες καὶ δαπάνης ἀκαίρου καὶ ἀδίκου ἀφωρισμένοι εἴησαν ἀπὸ θεοῦ καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον, ἕως οὗ πνευματικῷ τρόπῳ ἐξισάσωσι τὴν ζημίαν.

μηνὶ μαΐῳ ἰνδικτιῶνος γ'.

## V. 1784, 13. Juni.

Der ökumenische Patriarch Gabriel IV verpflichtet in einem Synodalschreiben die Zentralverwaltung der Athosklöster (ἡ Μέση) zur genauen Beachtung der Anordnungen, die er vor kurzem in einem dem Xenophonkloster verliehenen Sigillion getroffen hat.

† Ὁσιώτατοι προηγούμενοι καὶ ἐπιστάται τοῦ Κοινοῦ τοῦ ὄρους, τῆς λεγομένης μεγάλης Μέσης, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ. ἔγινε γνωστὸν εἰς ὅλους σας, ὅτι τὸ νεοσυστηθὲν ἐν τῷ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τοῦ Ξενοφῶντος πραγματικῷ καὶ ὑψηλῷ ὀνόματι κοινόβιον ἐφιλοτιμήθη μὲ ἡμέτερον πατριαρ-

V. Ediert (mit Weglassung einzelner Sätze und der meisten Unterschriften) von G. Smyrnakes, Τὸ Ἅγιον Ὄρος, Athen 1903, S. 157—158.

5. vgl. Petit № XV.

χικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα εἰς διηνεκῆ διαμονὴν τοῦ θείου τούτου ἔργου καὶ πρέπουσαν σύστασιν καὶ ἡσυχίαν τῶν ἐν αὐτῷ πατέρων, διαιρεθείσης τῆς διοικήσεώς του ἐπ' αὐτῷ τούτῳ διὰ νὰ μένῃ ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγουμενεύων ἀνενόχλητος κατὰ τὰ ἐμπεριεχόμενα ἐν τῷ σιγιλλιώδει κεφάλαια· δηλοποιοῦντες λοιπὸν αὐτὸ τοῦτο ὑμῖν καὶ διὰ τῆς παρούσης πατριαρχικῆς καὶ συνοδικῆς ἐπιστολῆς ἐντελλόμεθα ὑμῖν σφοδρῶς, ὅτι ὄχι μόνον ἐξ ὑμῶν τῶν κατὰ καιροὺς ἐν τῇ τοῦ Κοινοῦ σας ἐπιστασίᾳ εὑρισκομένων νὰ μένῃ ὁ ἡγούμενος ἐν οὐδεμιᾷ προφάσει καὶ ζητήσει ἀνενόχλητος καὶ ἄκλητος, ὡς ὄντος διωρισμένου εἰς τὰ τοιαῦτα τοῦ σκευοφύλακος Κωνσταντίου διὰ τὸ ἀτάραχον τοῦ ἡγουμένου, ἀλλὰ καὶ ἄλλος τις ἂν τον ἐνοχλήσῃ, ὑμεῖς νὰ τον διαφεντεύητε, καὶ ἐν ἑνὶ λόγῳ, αὐτὸς νὰ μένῃ ἥσυχος καὶ ἐπιμελούμενος τὰ ἔνδον πνευματικὰ κατὰ τὴν εἰς αὐτὸν ἄδειάν μας· καὶ διὰ δοσίματα καὶ χρέη καὶ τοιαῦτα ἄλλα, ὅπου ἀφορῶσιν εἰς τὰ ἔξω, ὁ Κωνστάντιος νὰ ζητῆται κατὰ τὴν ζήτησίν του καὶ ὑπόσχεσιν. προσέχετε τὸ λοιπὸν μὲ κάθε τρόπον νὰ φυλάττωνται καὶ παρ' ὑμῶν καὶ δι' ὑμῶν τὰ ἐν τῷ σιγιλλιώδει θεωρηθέντα περὶ τοῦ θεαρέστου τούτου ἔργου καὶ ψυχοσωτηρίου, ὅτι, ἂν μάθωμεν ἄλλως καὶ ἐνοχληθῇ ὁ ἡγούμενος, θέλομεν ἀγανακτήσει μεγάλως κατὰ τῶν αἰτίων. ὑμεῖς δὲ ποιήσατε ἐξ ἀποφάσεως, ὡς γράφομεν, καὶ ἡ παροῦσα ἡμῶν ἐπιστολὴ νὰ καταγραφῇ καὶ εἰς τὸν κώδικα τοῦ Κοινοῦ σας πρὸς διηνεκῆ ἔνδειξιν. οὕτω γενέσθω, ἡ δὲ τοῦ θεοῦ χάρις σὺν τῇ παρ' ἡμῶν εὐχῇ καὶ εὐλογίᾳ εἴη μετὰ πάντων ὑμῶν.

αψπδ ἰουνίου ιγ'.

† Γαβριὴλ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης ἐν Χριστῷ εὐχέτης.

† ὁ Ἐφέσου Σαμουὴλ ἐν Χριστῷ εὐχέτης.

† ὁ Ἡρακλείας Μεθόδιος ἐν Χριστῷ εὐχέτης.

† ὁ Κυζίκου Ἀγάπιος ἐν Χριστῷ εὐχέτης.

† ὁ Νικομηδείας Γεράσιμος ἐν Χριστῷ εὐχέτης.

† ὁ Χαλκηδόνος Παρθένιος ἐν Χριστῷ εὐχέτης.

† ὁ Δέρκων Ἀνανίας ἐν Χριστῷ εὐχέτης.

† ὁ Βερροίας Ματθαῖος ἐν Χριστῷ εὐχέτης.

† ὁ Δράμας Γρηγόριος ἐν Χριστῷ εὐχέτης.

† ὁ Ἀγχιάλου Ἀνανίας καὶ ἐν Χριστῷ εὐχέτης.

† ὁ Ναυπάκτου Μελέτιος ἐν Χριστῷ εὐχέτης.

---

8. (ebenso 12 u. 16) μείνῃ Smyrn. 9. ἐν τῷ σιγιλλίῳ κεφ. Smyrn. 13. man erwartet: καθεμιᾷ 13. οὐδεμιᾷ περιστάσει καὶ ζητ. Smyrn. 15. τις αὐτὸν ἂν ἐνοχλ. Smyrn. 17. τὰ τοιαῦτα Smyrn. 28—38. Die Abschrift hat in allen Unterschriften: εὔχεται.

35. In zwei Synodalschreiben desselben Patriarchen (vom Juni 1783 bei Порфирій, Исторія Аѳона; III,2 S. 1067 und vom Dez. 1784 bei Petit S. 86) steht an dieser Stelle: ὁ Σερρῶν Ματθαῖος. 38. bei Petit S. 86 steht (Dez. 1784): ὁ Ναυπλίου Μελέτιος.

## VI. 1802, September, VI. Indiktion.

Der ökumenische Patriarch Kallinikos bestätigt in einem Synodalschreiben den Urteilsspruch, den ein von den im Streite liegenden Klöstern τοῦ Ξενοφῶντος und τῶν Ῥώσσων gewähltes Schiedsgericht inbetreff der Zugehörigkeit des Klosters τοῦ Κάτζαρη gefällt hat.

† Τὰ τῶν ἀνθρώπων χρήματά τε καὶ κτήματα κατασφαλίζεσθαι καὶ οἱονεὶ ὀχυροῦσθαι γράμμασιν ἐπάναγκες· εἰ μὲν γὰρ μηδέποτε τοῖς ἀνθρώποις συνίστατο περὶ τούτων διαφορὰ ἀλλ' οἷόν τε ἦν καὶ τούτων ἄνευ ἕκαστον ἔχειν ἀσφαλῶς τὰ ἑαυτοῦ ἐς ἀεί, οὐδὲν ἂν ἔδει γραμμάτων. ἐπεὶ δὲ πολλοὺς πολλάκις καθορῶμεν ἐπιχειροῦντας ἀλλοτρίοις πράγμασι καὶ ἀμφισβητοῦντας οὐκ ἐνδίκως, ταύτῃ τοι ἀναγκαῖα τῷ βίῳ τὰ γράμματα πρὸς διάλυσιν τῶν τοιούτων διαφορῶν καὶ ἀπόδειξιν τῶν δικαίων ἑκάστου. ἐπὰν δὲ φθάσωσι γενέσθαι καὶ παρὰ τῆς ἐκκλησίας ἐπικυρωθῆναι κατὰ δίκαιον καὶ νόμιμον ἐν γραφῇ ἀληθείας τρόπον, τότε δὴ τότε καὶ τὸ κῦρος καὶ τὴν ἰσχὺν ἔχουσιν ἀπαράτρεπτον ἐν παντὶ καιρῷ εἰς ἐναργῆ ἔνδειξιν τῶν δικαίων ἑκάστου καὶ ἀσφάλειαν. ἐπειδὴ τοίνυν ἀφ' ἱκανῶν χρόνων συνέβη μεταξὺ τῶν δύο ἡμετέρων πατριαρχικῶν καὶ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων, τοῦ τε τῶν Ῥώσσων ἐπιλεγομένου καὶ τοῦ Ξενοφῶντος, διένεξις καὶ φιλονεικία περὶ τῶν μεταξὺ αὐτῶν μοναστηριακῶν τοπικῶν ὁρίων καί, πολλῶν πολλάκις κατὰ καιροὺς παρ' ἑκατέρου μέρους λόγων κινηθέντων, ἐνστάσεων δὲ προβληθεισῶν καὶ ἀντιπαραστάσεων ἐπενεχθεισῶν, οὐδὲν ἤνυσται, τελευταῖον ἤδη πρὸ καιροῦ τινος κοινῇ αὐτῶν βουλῇ καὶ ἀπαραβιάστων οἰκοθελεῖ γνώμῃ ἔγνωσται καὶ ἀπεφασίσθη, ὅπως ἡ μεταξὺ αὐτῶν αὕτη τρέχουσα ἀμφισβήτησις καὶ διένεξις παραδοθῇ εἰς ἐπεξεργασίαν καὶ διαίτησιν αἱρετῶν κριτῶν· οὓς καὶ δι' ἐνσφραγίστου ἐνυπογράφου κοινοῦ αὐτῶν συνήθους κομπρομησιακοῦ γράμματος ἐξελέξαντο ἑκάτεροι, ἤτοι οἱ μὲν ἐκ τοῦ τῶν Ῥώσσων ἱεροῦ μοναστηρίου πατέρες αἱρετισάμενοι ἐξελέξαντο τὸν ἀπὸ τῆς μεγίστης Λαύρας ὁσιολογιώτατον προηγούμενον κῦρ Ἀνανίαν, τὸν ἀπὸ τῆς ἱερᾶς μονῆς τοῦ Κουτλουμουσίου ὁσιολογιώτατον προηγούμενον κῦρ Καλλίνικον καὶ τρίτον τὸν ἀπὸ τῆς ἱερᾶς τοῦ Κώνσταντος μονῆς ὁσιολογιώτατον καθηγούμενον κῦρ Ἐφραίμ, οἱ δὲ ἐκ τοῦ ἱεροῦ μοναστηρίου τοῦ Ξενοφῶντος ὡσαύτως ἐξελέξαντο τὸν ἀπὸ τῆς ἱερᾶς μονῆς τοῦ Βατοπαιδίου ὁσιολογιώτατον ἀρχιμανδρίτην καὶ διδάσκαλον κῦρ Ἰωσήφ, τὸν ἀπὸ τῆς ἱερᾶς μονῆς τῶν Ἰβήρων ὁσιολογιώτατον διδάσκαλον κῦρ Μηνᾶν καὶ τρίτον τὸν ἀπὸ τῆς ἱερᾶς μονῆς τοῦ Διονυσίου ὁσιολογιώτατον κῦρ Ἰωάννην Φραγκόπουλον. καὶ ἑκατέρωθεν παραδόντες τὰ ἴδια αὐτῶν μοναστηριακὰ ἔγγραφα, ἀνέθεντο ὁμοφώνως τὴν διαίτησιν τῆς διενέξεως ταύτης εἰς τὴν ἐν φόβῳ θεοῦ ἐπεξεργασίαν καὶ ἀνάκρισιν τῶν εἰρημένων τούτων αἱρετῶν κριτῶν. πρὸς οὓς κατὰ κοινὴν ἔνθερμον πρὸς ἡμᾶς παράκλησιν ἀμφοτέρων τούτων τῶν ἱερῶν μοναστηρίων, τοῦ τε τῶν Ῥώσσων καὶ τοῦ Ξενοφῶντος, ἀπεστάλη καὶ παρ' ἡμῶν πατριαρχικὴ καὶ συνοδικὴ ἐπιστολή, δοθεῖσα κατ' ἔτος αωα (1801) δεκεμβρίου ϛ', διοριζομένη ἐκκλησιαστικῶς καὶ ἐντελλομένη τοῖς ἀνωτέρω ῥητῶς καὶ ὀνομαστὶ γεγραμμένοις αἱρεθεῖσιν ἓξ κριταῖς, ὅπως

παραλαβόντες παρ' ἀμφοτέρων τῶν ἱερῶν μονῶν τὰ ἀρχαῖα καὶ παλαιὰ αὐτῶν ἔγγραφα περιέχοντα τὰ περὶ τῶν ἀμφισβητουμένων μοναστηριακῶν αὐτῶν τούτων ὁρίων, ἀπέλθωσι κατὰ τὸν τόπον καὶ ἐπιθεωρήσαντες ἀνακρίνωσι φιλοδικαίως καὶ φιλαλήθως ἐν φόβῳ θεοῦ τὰ περὶ τῆς διαφορᾶς αὐτῶν καὶ καταπαύσαντες ἐφησυχάσωσι τοῦ λοιποῦ τὴν μεταξὺ αὐτῶν ἀμφισβήτησιν καὶ φιλονεικίαν. οἱ τοίνυν εἰρημένοι οὕτως αἱρεθέντες κριταὶ λαβόντες εἰς χεῖρας αὐτῶν τὸ ἀνωτέρω παρ' ἑκατέρων τῶν μονῶν ἐνσφράγιστον καὶ ἐνυπόγραφον κομπρομησιακὸν τῆς ἀδείας γράμμα, ἔτι δὲ καὶ τὰ πρωτότυπα τῶν ἀρχαίων αὐτῶν γραμμάτων ἀπῆλθον εἰς τὸν ἐπίμαχον ἐκεῖνον τόπον· καὶ ἀκριβῶς καὶ λεπτομερῶς κοινῶς τε καὶ κατὰ μέρος ἐρευνήσαντες εὗρον τὸν ἐπίμαχον τοῦτον τόπον ἐκ παλαιοῦ τοῦ χρόνου ὄντα ἴδιον τοῦ μονυδρίου ἐπιλεγομένου τοῦ Κάτζαρη, ὅστις Κάτζαρης ἤτοι ὁ ἡγούμενος τοῦ τοιούτου μονυδρίου ἐδωρήσατο μέρος τοῦ τόπου αὐτοῦ πρός τινα Ἱλαρίωνα Μακρογένην Ξενοφωντινὸν ὄντα τὸ πρότερον. ὃς δὴ Ἱλαρίων καιροῦ δραξάμενος ἔπειτα ἀπεχωρίσθη τέλεον τοῦ μοναστηρίου τοῦ Ξενοφῶντος, ἀποκαταστήσας τὸ αὐτοῦ μονύδριον εἰς ἡγουμενεῖον αὐτοδέσποτον. μικροῦ δὲ χρόνου παρεληλυθότος ὁ Πρῶτος τοῦ ἁγιωνύμου ὄρους μετὰ τῶν τότε προκριτωτέρων προεστώτων καὶ γερόντων προστάξει τοῦ ἀειμνήστου βασιλέως κῦρ Νικηφόρου κατέστησε τὸ ῥηθὲν μονύδριον τοῦ Ἱλαρίωνος Μακρογένους ὑπὸ τὴν ἐξουσίαν τῆς ἱερᾶς μονῆς τοῦ Ξενοφῶντος μετὰ καὶ τοῦ διορισθέντος τόπου τοῦ Κάτζαρη ἐπὶ ἔτους ϛφϟα (6591=1083), σῳζομένου ἔτι τηνικαῦτα τοῦ μονυδρίου τοῦ Κάτζαρη. παρελθόντων δὲ χρόνων ἱκανῶν καὶ τούτου τελείως ἐρημωθέντος, προσεκληρώθη τὸ ῥηθὲν μονύδριον τοῦ Κάτζαρη μετὰ τοῦ ἐναπολειφθέντος τόπου τῇ ἱερᾷ μονῇ τῶν Ῥώσσων ἐν ἔτει ϛωοα (6871=1363). οὕτω μὲν οὖν οἱ εἰρημένοι αἱρετοὶ κριταὶ εὑρόντες τὸν ῥηθέντα τόπον ἀναμεμιγμένον καὶ οἱονεὶ συγκεχυμένον, ἐξ οὗ ἀναγκαίως συνέβη καὶ τὰ ἀμφισβητούμενα ταῦτα ὅρια δυσδιάγνωστά τε καὶ δυσδιάκριτα εἶναι, δεῖν ἔγνωσαν δυνάμει τοῦ ἀνωτέρω εἰρημένου ἐξουσιαστικοῦ καὶ συμβιβαστικοῦ κοινοῦ αὐτῶν ἐνσφραγίστου γράμματος ἐπιμερισαμένους τὸν ἐπίμαχον τοῦτον τόπον καθ' ὃν τρόπον αὐτοῖς ἔδοξε καταπαύσασθαι τὴν τρέχουσαν αὐτῶν φιλονεικίαν. ὁ οὖν κοινῇ αὐτῶν γνώμῃ ὅσον ἐνδέχεται τοῦ ἀκριβοῦς τε καὶ δικαίου φροντισάντων φιλαλήθως τε καὶ εἰλικρινῶς ἐν φόβῳ θεοῦ ἐπιμερισμός, καθὼς ἡμῖν διὰ κοινοῦ ἐνυπογράφου αὐτῶν γράμματος ἐδηλώσαντο αὐτολεξεί, οὕτως ἐγεγόνει. ἤτοι ἀπὸ τῆς ῥάχεως τῆς πρὸς τὰς Καρέας, ἐν ᾗ ἐστὶ πέτρα ῥιζημαία, ἐπίπεδος, μελανόχρους, ἔχουσα ἀρχαίας δύο σφραγῖδας τοῦ τε Ξενοφῶντος καὶ τοῦ τῶν Ῥώσσων, ἀφ' ἧς τὰ ἄνω ἀριστερὰ μέρη τῆς ῥάχεως τὰ δίκαια τῆς μονῆς τῶν Ῥώσσων, τὰ δὲ κάτω πρὸς τοὺς *κομένους τὰ δίκαια τῆς μονῆς τοῦ ἱεροῦ κοινοβίου τοῦ Ξενοφῶντος· καὶ ἀπ' αὐτῆς δὲ τῆς εἰρημένης πέτρας κατ' εὐθεῖαν τὸν ῥάχωνα κατὰ μέσον τὸ κάταντες ἕως τῆς μίξεως τῶν δύο ῥυάκων τῶν κατερχομένων τοῦ μὲν δεξιὰ τοῦ δὲ ἀριστερά· καὶ τὰ μὲν τῆς ῥηθείσης ῥάχεως καταρρέοντα δεξιὰ ὕδατα τοῦ Ξενοφῶντος, τὰ δὲ ἀριστερὰ καταρρέοντα ὕδατα

---

54. vielmehr Kaiser Alexios Komnenos (1081—1118). 56. vgl. Petit № I, bes. Z. 174—179. 59. vgl Акты русскаго на святомъ Аѳонѣ монастыря, Kiev 1873 № 9, S. 98—102.

τῆς μονῆς τῶν 'Ρώσσων· ἀπὸ δὲ τῆς μίξεως τῶν ῥηθέντων δύο ῥυακίων κατέρχεται καθ' ὅλου διὰ τοῦ ἰδίου ῥύακος καὶ καταντᾷ ἕως τῆς μίξεως τοῦ αὐτοῦ ῥυακίου καὶ τοῦ ῥύακος τοῦ κατερχομένου ἀπὸ τοῦ Μακρογένους, ἤτοι ἀπὸ τῶν Ξενοφωντινῶν λιβαδίων. ταύτην τὴν διαίτησιν ἐποιήσαντο οἱ εἰρημένοι αἱρετοὶ κριταὶ ἐν καθαρῷ αὐτῶν συνειδότι ἐπὶ τῷ διαλυθῆναι τὴν περὶ τοῦ εἰρημένου διαφερομένου τόπου τοῦ Κάτζαρη μεταξὺ τῶν δύο μοναστηρίων τρέχουσαν πολυχρόνιον διένεξιν, καθὰ ἡμῖν αὐτολεξεὶ διὰ κοινοῦ αὐτῶν ἐνυπογράφου γράμματος γεγραμμένου ἀπὸ η' αὐγούστου τοῦ τρέχοντος αωβ ἔτους ἐδηλώσαντο, ἔχοντος καὶ τὰς ἐπὶ τῇ διαιτήσει ταύτῃ συναινετικὰς ὑπογραφὰς παρ' ἑκατέρων τῶν μοναστηρίων, ἤτοι τοῦ τε σκευοφύλακος τῆς ἱερᾶς μονῆς τῶν 'Ρώσσων Διονυσίου ἱερομονάχου καὶ τοῦ καθηγουμένου τοῦ ἱεροῦ κοινοβίου τοῦ Ξενοφῶντος Ἰγνατίου ἱερομονάχου. ὅθεν κατὰ τὴν γενομένην ταύτην φιλαλήθη ἀπαθῆ καὶ ἐν φόβῳ θεοῦ διαίτησιν τῶν εἰρημένων γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἀποφαινόμεθα, ἵνα ἀπὸ τῆς ῥάχεως τῆς πρὸς τὰς Καρέας, ἐν ᾗ ἐστὶ πέτρα ῥιζημαία, ἐπίπεδος, μελανόχρους, ἔχουσα ἀρχαίας δύο σφραγῖδας τοῦ τε Ξενοφῶντος καὶ τοῦ τῶν 'Ρώσσων, ἀφ' ἧς τὰ ἄνω ἀριστερὰ μέρη τῆς ῥάχεως ὑπάρχουσι διωρισμένα καὶ διακεχωρισμένα τὰ δίκαια τῆς ἱερᾶς μονῆς τῶν 'Ρώσσων, τὰ δὲ κάτω πρὸς τοὺς *κομένους γνωρίζωνται τοῦ λοιποῦ τὰ δίκαια τῆς μονῆς τοῦ ἱεροῦ κοινοβίου τοῦ Ξενοφῶντος, καὶ ἀπ' αὐτῆς δὲ τῆς εἰρημένης πέτρας κατ' εὐθεῖαν τὸν ῥάχωνα κατὰ μέσον τὸ κάταντες ἕως τῆς μίξεως τῶν δύο ῥυάκων τῶν κατερχομένων τοῦ μὲν δεξιὰ τοῦ δὲ ἀριστερά· καὶ τὰ μὲν τῆς ῥηθείσης ῥάχεως καταρρέοντα δεξιὰ ὕδατα ὑπάρχουσι τῆς μονῆς τοῦ κοινοβίου τοῦ Ξενοφῶντος, τὰ δὲ ἀριστερὰ καταρρέοντα ὕδατα ὑπάρχουσι τῆς μονῆς τῶν 'Ρώσσων· ἀπὸ δὲ τῆς μίξεως τῶν ῥηθέντων δύο ῥυακίων κατέρχεται καθ' ὅλου διὰ τοῦ ἰδίου ῥύακος καὶ καταντᾷ ἕως τῆς μίξεως τοῦ αὐτοῦ ῥυακίου καὶ τοῦ ῥύακος τοῦ κατερχομένου ἀπὸ τοῦ Μακρογένους, ἤτοι ἀπὸ τῶν Ξενοφωντινῶν λιβαδίων. καὶ τούτων οὕτω διακεκριμένων καὶ ἀμεταθέτως ὡροθετημένων, διαλυθῇ εἰς τὸ παντελὲς ἡ περὶ τοῦ εἰρημένου διαφερομένου τόπου τοῦ Κάτζαρη ἀμφισβήτησις αὐτῶν καὶ διένεξις ἐπὶ τῷ μένειν τὰ ὅρια ταῦτα ἀμετάτρεπτα, ἀδιάσειστα καὶ ἀμετακίνητα εἰς αἰῶνα τὸν ἅπαντα. ὅστις δὲ ἐξ ἑκατέρου τῶν ἱερῶν τούτων μοναστηρίων τῶν τε νῦν ὄντων μοναχῶν καὶ τῶν ἐσέπειτα ἐπιγενομένων ἂν φιλόνεικος καὶ φιλοτάραχος ὢν θελήσῃ διασεῖσαι ἢ μεταποιῆσαι κατά τι τὴν γενομένην ταύτην ἐν φόβῳ θεοῦ διαίτησιν περὶ τῶν ὁρίων τούτων, βουλόμενος ἐκ νέου ἀνακινῆσαι τὰ καλῶς κείμενα καὶ φατρείαν συνιστῶν ἐπιχειρήσῃ ἀγωγὰς αὖθις περὶ τῶν τόπων τούτων κινῆσαι ἐκκλησιαστικῶς τε καὶ ἐξωτερικῶς καθ' ὁποιονδηποτοῦν τρόπον, ὁ τοιοῦτος, ὡς τὴν κοινὴν εἰρήνην συγχέων καὶ τὰ καλῶς κείμενα μετακινῶν καὶ σκάνδαλα καὶ ταραχὰς ἐπεγείρων, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον καὶ τυμπανιαῖος· αἱ πέτραι καὶ ὁ σίδηρος λυθείησαν, αὐτὸς μηδαμῶς· ἡ ὀργὴ τοῦ θεοῦ εἴη ἐπ' αὐτῷ καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα· ἐπικατάρατος εἴη ἐν τῷ ἐκπορεύεσθαι αὐτὸν καὶ ἐπικατάρατος ἐν τῷ ἐμπορεύεσθαι· ἀποστείλῃ Κύριος ἐπ' αὐτῷ τὴν ἔνδειαν καὶ τὴν ἀνά-

λωσιν ἐπὶ πάντα, οὗ ἐὰν ἐπιβάλῃ τὴν χεῖρα αὐτοῦ, ἕως ἂν ἐξολοθρεύσῃ αὐτὸν καὶ ἕως ἂν ἀπολέσῃ αὐτὸν ἐν τάχει διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτοῦ, διότι ἐγκατέλειπε τὸν Κύριον· προσκολλήσῃ δὲ Κύριος εἰς αὐτὸν τὸν θάνατον, ἕως ἂν ἐξαναλώσῃ αὐτὸν ἀπὸ τῆς γῆς, εἰς ἣν εἰσπορεύεται τοῦ κληρονομῆσαι αὐτήν· στένων εἴη καὶ τρέμων ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν· κληρονομήσειε τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα· σχισθεῖσα ἡ γῆ καταπίῃ αὐτὸν ὡς τὸν Δαθάν, Κορὲ καὶ Ἀβειρών, ἔχων καὶ τὰς ἀρὰς πάντων τῶν ἁγίων καὶ θεοφόρων πατέρων. οὕτω κέκριται καὶ ἀπεφασίσθη παρ' ἡμῶν συνοδικῇ διαγνώσει. ὅθεν εἰς ἔνδειξιν τῆς γενομένης ταύτης εὐλόγου ἐκκλησιαστικῆς διαιτήσεως ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ δευτέρῳ κατὰ μῆνα σεπτέμβριον ἐπινεμήσεως ἕκτης.

† Καλλίνικος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† ὁ Ἡρακλείας Προκόπιος.

† ὁ Νικομηδείας Ἀθανάσιος.

† ὁ Χαλκηδόνος Ἰωακείμ.

† ὁ Δέρκων Ἱερόθεος.

† ὁ Προύσης Ἄνθιμος.

. . . . . . . . . . . . . . . . . .

**Ed. Kurtz.**

Riga, August 1911.

## Завѣщаніе Воилы.

Четыре года тому назадъ В. Н. Бенешевичъ напечаталъ греческій текстъ очень интереснаго завѣщанія боярина XI вѣка, но до сихъ поръ не далъ къ нему никакого комментарія. Документъ этотъ напечатанъ почти безъ всякихъ исправленій, не смотря на то, что, по справедливому замѣчанію издателя, пониманіе текста представляетъ очень большія трудности, такъ какъ онъ кишитъ самыми вопіющими нарушеніями всѣхъ правилъ этимологіи и синтаксиса, лишенъ всякой систематической отдѣлки и кромѣ многихъ непонятныхъ словъ и выраженій, извѣстныхъ уже изъ другихъ памятниковъ, содержитъ еще и новыя такія же непонятныя (Журн. Мин. Нар. Просв. 1907 г. май, стр. 218—231). Не легко установить грамматически правильный текстъ и объяснить нѣкоторые термины, тѣмъ не менѣе понять смыслъ завѣщанія, изданнаго г. Бенешевичемъ, вполнѣ возможно.

Въ концѣ документа сказано: Настоящее завѣщаніе написано по моей просьбѣ рукою Θеодула, монаха и пресвитера церкви Богородицы, и подписано свидѣтелями въ 12-й индиктъ, въ апрѣлѣ мѣсяцѣ 6567 г. (1059 г).

---

140. καὶ ἄλλαι ἀρχιερατικαὶ ὑπογραφαὶ δυσανάγνωστοι.